eul_wid: hps-bc

*Μένανδρος ὁ Ἀθηναῖος* · Menander of Athens

# Fragments on Household and Fortune

*Ἀποσπάσματα περὶ Οἴκου καὶ Τύχης*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 καὶ τῶν Ἅλῃσι

book 1.2 χωρίον κεκτημένος κάλλιστον εἶ, νὴ τὸν Δία, ἐν

book 1.3 τοῖς τρισίν γε, καὶ τὸ μακαριώτατον ἄστικτον.

book 2.1 ἄγγαρος ὄλεθρος. ἡδέως ἄν μοι δοκῶ ὅμως πεπονθὼς ταῦτα νῦν

book 2.2 ταύτην ἔχειν.

book 3 ἀναπετῶ.

book 4 ἑκκαίδεκα κεῖνθ’ ἁμίδες.

book 5 οὐκ ἀδελφός, οὐκ ἀδελφὴ παρενοχλήσει, τηθίδα οὐδ’ ἑώρακε〈ν〉 τὸ σύνολον, θεῖον οὐδ’ ἀκήκοεν. εὐτύχημα δ’ ἐστὶν ὀλίγους τοὺς ἀναγκαίους ἔχειν.

book 6 καὶ Λαμπρίας ὄπισθεν ἀλάβαστον φέρων.

book 7.1 [spk_—]ἐμφαίνεται, ὅτι

book 7.2 πρόσφατος ἦν ἐπιχώριος. — Β. καὶ τοὔνομα τί λέγεις; — Α. ἀλάστωρ, φησί.

book 8 δαιμόνων ἀλαστόρων.

book 9 βάρβαρος ἄγγαρος ὄντως κοὐδενὸς προορώμενος.

book 10.1 ἀγγαροφόρει καὶ ταῦθ’ ἃ νῦν

book 10.2 ποιεῖς, ποίει, ἐξὸν διαρρηγνύμενον ἀγαθῶν μυρίων, σιτιζόμενον τὴν νύκτα καὶ τὴν ἡμέραν διάγειν.

book 11 [spk_β]οὐκ ἔμβαρος. Β. τί ἔμβαρος; ἀρχαϊσμὸς οὗτος ῥημάτων.

book 12 τὸν ἄμητα, Χαίριππ’, οὐκ ἐς Ἅιδου πέμπετε;

book 12.1 [spk_β]Β. τιν’ ἄμητ’ ἐν Ἅιδου

book 12.2 προσδοκᾷς;

book 13 Ἀμφιετίδαι.

book 14.1 πότων

book 14.2 τε καὶ κώμων ἅπαντες ᾔδεμεν.

book 15

τὸ μὲν ἐξαμαρτάνειν ἅπασιν ἔμφυτον καὶ κοινόν, ἀναδραμεῖν δὲ τὴν ἁμαρτίαν οὐ τοῦ τυχόντος ἀνδρός, ἀλλ’ ἀξιολόγου.

book 16.1 ὡς τοῖσιν εὖ φρονοῦσι σύμμαχος τύχη· ἅπαντι δαίμων ἀνδρὶ συμπαρίσταται εὐθὺς γενομένῳ μυσταγωγὸς τοῦ βίου ἀγαθός· κακὸν γὰρ δαίμον’ οὐ νομιστέον εἶναι βίον βλάπτοντα θνητὸν οὐδ’ ἔχειν κακίαν, ἅπαντα δ’ ἀγαθὸν εἶναι τὸν θεόν. ἀλλ’ οἱ γενόμενοι

book 16.2 τοῖς τρόποις αὐτοὶ κακοί· πολλὴν δ’ ἐπιπλοκὴν

book 16.3 τοῦ βίου

book 16.4 πεποιημένοι 〈κα〉ὶ πάντα τὴν αὑτῶν ἀβουλίαν 〈παρ〉ὲκτρίψαντες ἀποφαίνουσι δαίμον’ αἴτιον καὶ κακὸν ἐκεῖνόν

book 16.5 φασιν αὐτοὶ γεγονότες.

book 17 Νηρῄς τις ἐπὶ δελφῖνος.

book 18 – ἔφηβος, μειράκιον, ἀνήρ, γέρων.

book 20.1 τίνος τἀγαθὸν

book 20.2 τοῦτ’ ἐστιν;

book 21 εἴδωλον ἀμαυρόν.

book 22 ἤκουσα τῶν ἐκκραγγανομένων.

book 23 ἀνδραποδοκλέπτης.

book 24 ἔα κεκρύφθαι λανθάνουσαν ἀτυχίαν· τὸ γὰρ ἐξελέγχειν τὴν ὕβριν διττὴν φέρει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org